Τῇ Κυριακῇ Πρωΐ

Μηναῖον - ΤΗ ΚΖ' ΣΕΠΤΕΜΒΡΙΟΥ

Μνήμη τοῦ Ἁγίου Μάρτυρος Καλλιστράτου, καὶ τῶν σὺν αὐτῷ

ΟΡΘΡΟΣ

Χορός:

Ἦχος πλ. δ'.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

ΑΠΟΛΥΤΙΚΙΟΝ ΑΝΑΣΤΑΣΙΜΟΝ. *Ἦχος πλ. δ'.*

Ἐξ ὕψους κατῆλθες ὁ Εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν, Κύριε δόξα σοι.

Δόξα. ΤΩΝ ΜΑΡΤΥΡΩΝ. *Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. ΘΕΟΤΟΚΙΟΝ. *Ἦχος δ'.*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

On Sunday Morning

Menaion - September 27

Memory of the Holy Martyr Callistratus and those with him

MATINS

Choir:

Mode pl. 4.

God is the Lord, and hath revealed Himself to us. Blessed is he who comes in the name of the Lord.

Verse 1: *Give thanks to the Lord and call upon His holy name.*

Verse 2: *All the nations surrounded me, but in the name of the Lord I defended myself against them.*

Verse 3: *And this came about from the Lord, and it is wonderful in our eyes.*

RESURRECTIONAL APOLYTIKION. *Mode pl. 4.*

From the heights Thou didst come down, O Compassionate One. And Thou didst submit to three day burial that from the passions Thou mightest deliver us. O our Life and Resurrection, O Lord, glory be to Thee.

Glory. FOR THE MARTYRS. *Mode 4. Come quickly.*

Thy Martyrs, O Lord, in their courageous contest for Thee * received as the prize the crowns of incorruption and life from Thee, our immortal God. * For since they possessed Thy strength, they cast down the tyrants * and wholly destroyed the demons' strengthless presumption. * O Christ God, by their prayers, save our souls, since Thou art merciful.

Both now. THEOTOKION. *Mode 4.*

The mystery hidden from eternity and unknown to the angels is made manifest through thee, O Theotokos, to those on earth. God became incarnate in an unmingled union and for our sake hath submitted willingly to the Cross, whereby He hath raised up the first fashioned man and hath saved our souls from death.

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

ΚΑΘΙΣΜΑ Α'.

Ἦχος πλ. δ'. Αὐτόμελον.

Ἀνέστης ἐκ νεκρῶν, ἡ ζωὴ τῶν ἁπάντων, καὶ Ἄγγελος φωτός, ταῖς γυναιξὶν ἐβόα· Παύσασθε τῶν δακρύων, τοῖς Ἀποστόλοις εὐαγγελίσασθε· κράξατε ἀνυμνοῦσαι· Ὅτι ἀνέστη Χριστὸς ὁ Κύριος, ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

Δόξα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἀναστὰς ἐκ τοῦ τάφου ὡς ἀληθῶς, ταῖς ὁσίαις προσέταξας γυναιξί, κηρῦξαι τὴν ἔγερσιν, Ἀποστόλοις ὡς γέγραπται· καὶ δρομαῖος ὁ Πέτρος, ἐπέστη τῷ μνήματι, καὶ τὸ φῶς ἐν τῷ τάφῳ, ὁρῶν κατεπλήττετο· ὅθεν καὶ κατεῖδε, τὰ ὀθόνια μόνα, χωρὶς τοῦ θείου σώματος, ἐν αὐτῷ κατακείμενα· καὶ πιστεύσας ἐβόησε· Δόξα σοι Χριστὲ ὁ Θεός, ὅτι σῴζεις ἅπαντας Σωτὴρ ἡμῶν· τοῦ Πατρὸς γὰρ ὑπάρχεις ἀπαύγασμα.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For Thine is the dominion, and Thine is the kingdom and the power and the glory, of the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

KATHISMA I.

Mode pl. 4. Automelon.

Thou, as the Life of all, from the dead art arisen. * An Angel bright with light called out unto the women: * Cease ye from tears and weeping; * tell the Apostles the tidings full of joy. * Cry aloud singing praises, * that Christ the Lord is arisen from the dead, * He that in truth hath been well pleased, as God, to save the race of mankind.

Glory. Mode pl. 4. By conceiving the Wisdom.

When in truth Thou hadst risen up from the tomb, * Thou didst charge the most righteous women to preach * Thy Rising unto the choir * of Apostles, as Scripture saith. * So the swift running Peter arrived at the sepulchre, * and beholding the light in the grave, he was sore amazed. * Though he then beheld therein the linen clothes lying * alone in a separate place, * Thy divine Body was not there. * For this cause he believed and cried: * Glory be to Thee, O Christ God, * O our Saviour, for Thou savest all, since Thou * art God the Father's Effulgence, * ever shining forth from Him.

Καὶ νῦν. ΘΕΟΤΟΚΙΟΝ.

Ὃ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας Ἀγαθέ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου Ἐλεῆμον· δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

ΚΑΘΙΣΜΑ Β'.

Ἦχος πλ. δ'.

Ἄνθρωποι τὸ μνῆμά σου, Σωτὴρ ἐσφραγίσαντο, Ἄγγελος τὸν λίθον, ἐκ τῆς θύρας ἀπεκύλισε. Γυναῖκες ἐθεάσαντο, ἐγηγερμένον ἐκ νεκρῶν, καὶ αὗται εὐηγγελίσαντο τοῖς Μαθηταῖς σου ἐν Σιών· Ὅτι ἀνέστης ἡ ζωὴ τῶν ἁπάντων, καὶ διελύθη τὰ δεσμὰ τοῦ θανάτου. Κύριε δόξα σοι.

Δόξα. Ἦχος πλ. δ'. Ἀνέστης ἐκ νεκρῶν.

Τὰ μύρα τῆς ταφῆς, αἱ γυναῖκες κομίσασαι, φωνῆς ἀγγελικῆς, ἐκ τοῦ τάφου ἤκουον· Παύσασθε τῶν δακρύων, καὶ ἀντὶ λύπης χαρὰν κομίσασθε· κράξατε ἀνυμνοῦσαι, ὅτι ἀνέστη Χριστὸς ὁ Κύριος, ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

Καὶ νῦν. ΘΕΟΤΟΚΙΟΝ.

Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα· ἐξ ἧς Θεὸς ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. Τὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις· δόξα σοι.

ΕΥΛΟΓΗΤΑΡΙΑ ΑΝΑΣΤΑΣΙΜΑ. *Ἦχος πλ. α'.*

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτήρ, τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ Ἅιδου πάντας ἐλευθερώσαντα.

Both now. THEOTOKION.

Thou Who for our sakes wast born of a Virgin, and didst suffer crucifixion, O Good One, and didst despoil death by death, and as God, didst reveal the Resurrection: Disdain them not which Thou hast fashioned with Thy hand; show us Thy love for mankind, O Merciful One; accept the Theotokos that gave Thee birth, who intercedeth for us; and do Thou, our Saviour, save a despairing people.

KATHISMA II.

Mode pl. 4.

Men sealed Thy tomb, O Saviour; an Angel rolled away the stone from the door. The women beheld Thee arisen from the dead, and they proclaimed the good tidings unto Thy disciples in Sion: that Thou art risen, O Life of all, and the bonds of death are loosed. Lord, glory be to Thee.

Glory. Mode pl. 4. O Life of all, You rose.

The women brought their myrrh for Thy burial ointment * and heard an Angel's voice from the sepulchre saying: * Cease ye from tears and weeping; * instead of sorrow, receive exceeding joy; * cry aloud singing praises, * that Christ the Lord is arisen from the dead, * He that in truth hath been well pleased, as God, to save the race of mankind.

Both now. THEOTOKION.

In you, O Lady full of grace, all creation rejoices, the hosts of Angels and the human race. O consecrated temple and allegorical Paradise, virgins boast of you. For God became incarnate from you, yes, our eternally existing God became a child from you. He made a throne of your womb, and He made your body wider than the heavens. In you, O Lady full of grace, all creation rejoices. Glory to you!

RESURRECTIONAL EVLOGETARIA. *Both Now Same Mode*

Blessed art Thou, O Lord, teach me Thy commandments.

The assembly of Angels was amazed to see Thee accounted among the dead, Thou Who hadst destroyed the might of death, O Saviour, and didst raise Adam with Thyself, and Who hadst freed all men from Hades.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τί τὰ μύρα, συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος, προσεφθέγγετο ταῖς Μυροφόροις· Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ᾄσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Λίαν πρωΐ, Μυροφόροι ἔδραμον, πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ' ἐπέστη, πρὸς αὐτὰς ὁ Ἄγγελος, καὶ εἶπε· θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε, τὴν Ἀνάστασιν δέ, Ἀποστόλοις εἴπατε.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Μυροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ μνῆμά σου, Σῶτερ ἐνηχοῦντο. Ἀγγέλου τρανῶς, πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν, τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γάρ, ἐξανέστη τοῦ μνήματος.

Δόξα.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφείμ, κράζοντες τό· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Καὶ νῦν.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας, χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δέ, ὁ ἐκ σοῦ σαρκωθείς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. (3)

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Blessed art Thou, O Lord, teach me Thy commandments.

Why do ye mingle myrrh with tears of compassion, O ye women disciples? The radiant angel in the grave addressed the myrrh-bearing women: Behold the grave and exult, for the Saviour hath arisen from the sepulchre.

Blessed art Thou, O Lord, teach me Thy commandments.

At early morn, the myrrh-bearers hastened to Thy sepulchre with lamentation; but an Angel came to them and said: The time for sorrow is ended; weep ye no longer. And tell the Apostles of the Resurrection.

Blessed art Thou, O Lord, teach me Thy commandments.

The myrrh-bearing women came with myrrh unto Thy tomb, O Saviour, and they heard an angel saying unto them: Why de count the Living among the dead? For, as God, He is risen from the sepulchre.

Glory.

We worship the Father, and His Son, and the Holy Spirit, the Holy Trinity, one in essence; and we cry out with the Seraphim: Holy, Holy, Holy art Thou, O Lord.

Both now.

By giving birth to the Giver of Life, O Virgin, thou didst rescue Adam from sin, and thou didst grant Eve joy instead of sorry; for the God and Man Who was incarnate of thee guided back to life him that had fallen away therefrom.

Alleluia. Alleluia. Alleluia. Glory to Thee, O God. (3)

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Ἱερεύς: Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Ἀναγνώστης:

ΥΠΑΚΟΗ.

Ἦχος πλ. δ'.

Αἱ μυροφόροι τοῦ ζωοδότου, ἐπιστᾶσαι τῷ μνήματι, τὸν Δεσπότην ἐζήτουν, ἐν νεκροῖς τὸν ἀθάνατον· καὶ χαρᾶς εὐαγγέλια, ἐκ τοῦ Ἀγγέλου δεξάμεναι, τοῖς Ἀποστόλοις ἐμήνυον· Ὅτι ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Χορός:

ΟΙ ΑΝΑΒΑΘΜΟΙ.

Ἀντίφωνον Α'. Ἦχος πλ. δ'.

Ἐκ νεότητός μου, ὁ ἐχθρός με πειράζει, ταῖς ἡδοναῖς φλέγει με· ἐγὼ δὲ πεποιθώς, ἐν σοὶ Κύριε, τροποῦμαι τοῦτον.

Οἱ μισοῦντες Σιών, γενηθήτωσαν δή, πρὶν ἐκσπασθῆναι ὡς χόρτος· συγκόψει γὰρ Χριστός, αὐχένας αὐτῶν, τομῇ βασάνων.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὸ ζῆν τὰ πάντα, φῶς ἐκ φωτός, Θεὸς μέγας· σὺν Πατρὶ ὑμνοῦμεν αὐτὸ καὶ τῷ Λόγῳ.

Ἀντίφωνον Β'.

Ἡ καρδία μου, τῷ φόβῳ σου σκεπέσθω, ταπεινοφρονοῦσα· μὴ ὑψωθεῖσα ἀποπέσῃ, ἐκ σοῦ Πανοικτίρμον.

Ἐπὶ τὸν Κύριον, ὁ ἐσχηκὼς ἐλπίδα, οὐ δείσει τότε, ὅτε πυρὶ τὰ πάντα, κρινεῖ καὶ κολάσει.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶς τις θεῖος βλέπει καὶ προλέγει, τερατουργεῖ ὕψιστα, ἐν τρισὶν ἕνα Θεὸν μέλπων· εἰ γὰρ καὶ τριλαμπεῖ, μοναρχεῖ τὸ θεῖον.

Priest: For blessed is Thy name, and glorified is Thy kingdom, of the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Reader:

HYPAKOE.

Mode pl. 4.

Standing at the tomb of the Life-giver, the myrrh-bearers sought the immortal Master among the dead; and receiving the good tidings of joy from the Angel, they announced to the Apostles that the Lord is risen, granting great mercy unto the world.

Choir:

ANAVATHMOI.

Antiphon 1. Mode pl. 4.

From my youth, the enemy doth tempt me, and with pleasures doth inflame me; but trusting in Thee, O Lord, I triumph over him.

Let them that hate Sion be come as grass before it is plucked up; for Christ shall cut asunder their necks with the stroke of torments.

Glory. Both now.

In the Holy Spirit all things are quickened; He is Light of Light, a great God. We praise Him with the Father and the Word.

Antiphon 2.

Let my heart be sheltered with the fear of Thee, in humble mindedness, lest, by being exalted, it fall away from Thee, O All compassionate One.

He that hath hope in the Lord shall not then be afraid, when with fire and torment He shall judge all things.

Glory. Both now.

By the Holy Spirit doth every divine see and foretell; he performeth most exalted wonders, singing of God, Who is One in Three. For though He shineth in Three, the Godhead doth rule as One.

Ἀντίφωνον Γ'.

Ἐκέκραξά σοι Κύριε, πρόσχες, κλῖνόν μοι τὸ οὖς σου βοῶντι, καὶ κάθαρον πρὶν ἄρῃς με, ἀπὸ τῶν ἐνθένδε.

Ἐπὶ τὴν μητέρα αὐτοῦ γῆν, δύνων πᾶς αὖθις ἀναλύσει, τοῦ λαβεῖν βασάνους, ἢ γέρα τῶν βεβιωμένων.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, θεολογία μονὰς τρισαγία· ὁ Πατὴρ γὰρ ἄναρχος, ἐξ οὗ ἔφυ ὁ Υἱὸς ἀχρόνως, καὶ τὸ Πνεῦμα σύμμορφον, σύνθρονον, ἐκ Πατρὸς συνεκλάμψαν.

Ἀντίφωνον Δ'.

Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἅμα; ἐν τούτῳ γὰρ Κύριος, ἐπηγγείλατο ζωὴν αἰωνίαν.

Τοῦ ἐνδύματος αὐτοῦ, ὁ τὰ κρίνα τοῦ ἀγροῦ κοσμῶν, κελεύει μὴ δεῖν φροντίζειν.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἑνοειδεῖ αἰτίᾳ, πάντα ἔχεται εἰρηνοβραβεύτως· Θεὸς τοῦτο γάρ ἐστι, Πατρί τε καὶ Υἱῷ, ὁμοούσιον κυρίως.

ΠΡΟΚΕΙΜΕΝΟΝ.

Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. (δίς)

Στίχ. *Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον.*

Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Ode 6: Short Litany

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Antiphon 3.

I have cried unto Thee, O Lord; hearken, incline Thine ear unto me who cry, and cleanse me before Thou takest me hence.

Returning unto his mother, the earth, every man is straightway clothed with dissolution, to receive torments or rewards for things committed in lifetime.

Glory. Both now.

In the Holy Spirit we speak of God, the thrice holy Unity. For the Father is beginningless, from Whom the Son was born timelessly. And the Spirit, Who is one with Them in form and rank, also shineth forth from the Father.

Antiphon 4.

Behold now, what is so good or so joyous, as for brethren to dwell together in unity; for in this, the Lord hath promised life everlasting.

He that adorneth the lilies of the field, commandeth that one should not take thought for his raiment.

Glory. Both now.

By the Holy Spirit, as by one simple Cause, all things are sustained in a peace bestowing manner. For as Lord, He is God of one essence with the Father and the Son.

PROKEIMENON.

The Lord shall be King unto eternity; thy God, O Sion, unto generation and generation. (2)

Verse: *Praise the Lord, O my soul. I will praise the Lord in my life, I will chant unto my God for as long as I have my being.*

The Lord shall be King unto eternity; thy God, O Sion, unto generation and generation.

Ode 6: Short Litany

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Ἀναγνώστης:

ΚΟΝΤΑΚΙΟΝ ΑΝΑΣΤΑΣΙΜΟΝ.

Ἐξαναστὰς τοῦ μνήματος, τοὺς τεθνεῶτας ἤγειρας, καὶ τὸν Ἀδὰμ ἀνέστησας· καὶ ἡ Εὔα χορεύει, ἐν τῇ σῇ ἀναστάσει, καὶ κόσμου τὰ πέρατα πανηγυρίζουσι, τῇ ἐκ νεκρῶν ἐγέρσει σου Πολυέλεε.

Ο ΟΙΚΟΣ.

Τὰ τοῦ ᾅδου σκυλεύσας βασίλεια, καὶ νεκροὺς ἀναστήσας Μακρόθυμε, γυναιξὶ Μυροφόροις συνήντησας, ἀντὶ λύπης χαρὰν κομισάμενος· καὶ Ἀποστόλοις σου ἐμήνυσας, τὰ τῆς νίκης σύμβολα, Σωτήρ μου ζωοδότα, καὶ τὴν κτίσιν ἐφώτισας Φιλάνθρωπε· διὰ τοῦτο καὶ κόσμος συγχαίρει, τῇ ἐκ νεκρῶν ἐγέρσει σου πολυέλεε.

Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Συναξαρίου.

ΣΥΝΑΞΑΡΙΟΝ

ΤΟΥ ΜΗΝΑΙΟΥ.

Τῇ ΚΖ' τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἁγίου Μάρτυρος Καλλιστράτου, καὶ τῶν σὺν αὐτῷ ἁγίων μθ' Μαρτύρων.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας Μάρτυρος Ἐπιχάρεως.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For Thou art the King of peace and the savior of our souls, and to Thee we offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Reader:

RESURRECTIONAL KONTAKION.

Arising from the tomb, O mighty Saviour, Thou didst rouse the dead; Thou didst raise Adam; while Eve danceth in her joy at Thy blest Resurrection, O Lord. * And the world's farthest regions * keep festival on Thine arising from the dead * with gladness and thanksgiving, O Thou Who art greatly merciful.

OIKOS.

When Thou hadst despoiled the dominion of Hades and hadst raised the dead, O Long-suffering One, Thou didst meet the myrrh-bearing women, bringing them joy instead of sorrow. And unto Thine Apostles Thou madest known the symbols of victory, O my Saviour, Giver of Life, and Thou hast enlightened creation, O Friend of man. Wherefore, the world rejoiceth also at Thine arising from the dead, O Thou Who art greatly merciful.

Stand for the reading of the Synaxarion.

SYNAXARION

FROM THE MENAION.

On September 27 we commemorate the holy Martyr Callistratus and the 49 Martyrs with him.

On this day we also commemorate the holy woman Martyr Epicharis.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰγνατίου, Ἡγουμένου γενομένου τῆς Μονῆς τοῦ Σωτῆρος Χριστοῦ, τοῦ ἐπιλεγομένου Βαθέος Ῥύακος.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων Ἀποστόλων Μάρκου, Ἀριστάρχου, καὶ Ζήνωνος.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων Μαρτύρων Φιλήμονος, ἐπισκόπου, καὶ Φορτουνιανοῦ· καὶ τῆς ἁγίας Μάρτυρος Γαϊανῆς.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων δεκαπέντε Μαρτύρων, οἵ τινες ἐν πλοίῳ ἐμβληθέντες, τοῦ πλοίου πυρποληθέντος, ἐν τῇ θαλάσσῃ ἀπεπνίγησαν.

Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας Νεομάρτυρος Ἀκυλίνης τῆς παρθένου, ἐτελειώθη ἐν τῷ ,αψξδ' (1764).

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

KATAVASIAS ODES 1-8

Χορός:

ὨΙδὴ α'. Καταβασία. Ἦχος δ'.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

ὨΙδὴ γ'. Καταβασία. Ἦχος δ'.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.

ὨΙδὴ δ'. Καταβασία. Ἦχος δ'.

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

ὨΙδὴ ε'. Καταβασία. Ἦχος δ'.

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ, τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

On this day we also commemorate our devout Father St. Ignatios, Abbot of the Monastery of The Savior Christ, which is called the Monastery of the Deep Stream.

On this day we also commemorate the holy Apostles Mark, Aristarchos, and Zeno.

On this day we also commemorate the holy Martyrs Philemon the bishop, and Fortunianos; and the holy woman Martyr Gaiana.

On this day we also remember the 15 Martyrs who were put on a ship, which was set on fire, and then drowned at sea.

On this day the holy Neo-Martyr Aquilina the virgin, who died in the year 1764.

By the intercessions of Your Saints, O God, have mercy on us. Amen.

KATAVASIAS ODES 1-8

Choir:

Ode i. Mode 4.

I open my mouth and pray the Spirit fill it, like David said, * to pour out a good word to the Queen and Mother of God. * I will celebrate * her feast with joy and gladness * and sing to her merrily, lauding her miracles.

Ode iii. Mode 4.

Make steadfast, O holy Theotokos, thou living and never failing spring, all them that form a company and gather for to praise thy name; and by thy grace divine, O Maid, deem them all worthy of glory's crown.

Ode iv. Mode 4.

When the Prophet Habbakkuk, O Thou Most High, learned of the divine and untraceable counsel of your pure incarnation from the womb of the blessed Virgin, he cried out: Glory to Thy power, O Lord my God.

Ode v. Mode 4.

All creatures were sore amazed at thy divine and great glory, Maid, O pure Virgin, who hast not known wedlock; for thou didst hold in thy womb the God of all, and gavest birth to the timeless son, Who doth grant salvation unto all them that acclaim thy name.

Ὠδὴ Ϛ'. Καταβασία. Ἦχος δ'.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

Ὠδὴ ζ'. Καταβασία. Ἦχος δ'.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον. Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Καταβασία. Ἦχος δ'.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου.

Τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Ἦχος β'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. (δίς) Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Χορός: Κύριε, ἐλέησον. *(3)*

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Εἰρήνη πᾶσι.

Χορός: Καὶ τῷ πνεύματί σου.

Ode vi. Mode 4.

On this divine and most honoured feast of God's all holy Mother let all of godly mind now celebrate; come, let us faithful now clap our hands, and send up glory unto the God Whom she hath borne.

Ode vii. Mode 4.

No created thing, but only the Creator would the godly minded Youths adore and worship as God; but manfully trampling down threats of fire, they cried out: O supremely praised and all acclaimed One, blest art Thou, O Thou Lord God of our Fathers.

Ode viii. Mode 4.

We praise and we bless and we worship the Lord.

Three guiltless Youths cast in the furnace were saved by the Offspring which the Theotokos bare, then in figure and in type, now in very truth and deed; and He hath gathered all the world, which crieth out in chant: Ye works of His, O sing the Lord's praises, and exalt Him greatly for ages and all ages. I shall open my mouth

Stand for the Gospel reading.

Let us pray to the Lord.

Choir: Lord, have mercy.

For Thou, our God, are holy, and Thou rest among the Saints, and to Thee we offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Mode 2.

Let everything that breathes praise the Lord. (2) Let everything that breathes praise the Lord.

Let us pray to the Lord our God that we may be found worthy to hear the holy Gospel.

Choir: Lord, have mercy. (3)

Wisdom. Arise. Let us hear the holy Gospel.

Peace be with all.

Choir: And with your spirit.

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

ΕΩΘΙΝΟΝ Ϛ'

Λουκᾶν 24:36 – 53

Τῷ καιρῷ ἐκείνῳ, ἀναστὰς ὁ Ἰησοῦς ἐκ νεκρῶν ἔστη ἐν μέσῳ τῶν μαθητῶν αὐτοῦ καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν. πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι ἐδόκουν πνεῦμα θεωρεῖν. καὶ εἶπεν αὐτοῖς· τί τεταραγμένοι ἐστέ, καὶ διατί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι· ψηλαφήσατέ με καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. καὶ τοῦτο εἰπὼν ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς καὶ θαυμαζόντων εἶπεν αὐτοῖς· ἔχετέ τι βρώσιμον ἐνθάδε; οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος καὶ ἀπὸ μελισσίου κηρίου, καὶ λαβὼν ἐνώπιον αὐτῶν ἔφαγεν. εἶπε δὲ αὐτοῖς· οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωϋσέως καὶ προφήταις καὶ ψαλμοῖς περὶ ἐμοῦ. τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς γραφάς, καὶ εἶπεν αὐτοῖς ὅτι οὕτω γέγραπται καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ Ἰερουσαλήμ. ὑμεῖς δέ ἐστε μάρτυρες τούτων. καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ᾽ ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἰερουσαλὴμ ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. Ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν, καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ εὐλόγησεν αὐτούς. καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς διέστη ἀπ᾽ αὐτῶν καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ μετὰ χαρᾶς μεγάλης, καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. ἀμήν.

Χορός: Δόξα σοι, Κύριε, δόξα σοι.

The reading is from the holy Gospel according to Luke.

Let us be attentive.

Glory to Thee, O Lord, glory to You.

EOTHINON 6

Luke. 24:36 – 53

At that time, Jesus, having risen from the dead, stood in the midst of his disciples and said to them, "Peace to you!" But they were startled and frightened, and supposed that they saw a spirit. And he said to them, "Why are you troubled, and why do questionings rise in your hearts? See my hands and feet, that it is I myself; handle me, and see; for a spirit has not flesh and bones as you see that I have." And when he said this, he showed them his hands and his feet. And while they still disbelieved for joy, and wondered, he said to them, "Have you anything here to eat?" They gave him a piece of broiled fish and some honeycomb, and he took it and ate before them. Then he said to them, "These are my words which I spoke to you, while I was still with you, that everything written about me in the law of Moses and the prophets and the psalms must be fulfilled." Then he opened their minds to understand the scriptures, and said to them, "Thus it is written, that the Christ should suffer and on the third day rise from the dead, and that repentance and forgiveness of sins should be preached in his name to all nations, beginning from Jerusalem. You are witnesses of these things. And behold, I send the promise of my Father upon you; but stay in the city of Jerusalem, until you are clothed with power from on high." Then he led them out as far as Bethany, and lifting up his hands, he blessed them. While he blessed them, he parted from them, and was carried up into heaven. And they worshiped him, and they returned to Jerusalem with great joy, and were continually in the temple praising and blessing God. Amen.

Choir: Glory to Thee, O Lord, glory to You.

Ἀναγνώστης: Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Reader: Having beheld the Resurrection of Christ, let us worship the holy Lord Jesus, the only sinless one. Thy Cross, O Christ, we venerate, and Thy holy Resurrection we praise and glorify. For Thou art our God; apart from Thee we know no other; we call upon Thy name. Come, all ye faithful, let us venerate the holy Resurrection of Christ; for behold, through the Cross, joy hath come to all the world. Ever blessing the Lord, let us praise His Resurrection; for having endured the Cross for us, He hath destroyed death by death.

Χορός:

ΨΑΛΜΟΣ Ν' (50). *Ἦχος β'. (ἢ τῆς ἑβδομάδος.)*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Choir:

PSALM 50 (51). *Mode 2. (or the Mode of the week)*

Have mercy upon me, O God, according to thy lovingkindness: according unto the multitude of thy tender mercies blot out my transgression.

Wash me throughly from mine iniquity, and cleanse me from my sin.

For I acknowledge my transgressions: and my sin is ever before me.

Against thee, thee only, have I sinned, and done this evil in thy sight: that thou mightest be justified when thou speakest, and prevail when thou art judged.

Behold, I was shapen in iniquity; and in sin did my mother conceive me.

Behold, thou desirest truth in the inward parts: and in the hidden part thou shalt make me to know wisdom.

Purge me with hyssop, and I shall be clean: wash me, and I shall be whiter than snow.

Make me to hear joy and gladness; that the bones which thou hast humbled may rejoice.

Hide thy face from my sins, and blot out all mine iniquities.

Create in me a clean heart, O God; and renew a right spirit within me.

Cast me not away from thy presence; and take not thy holy spirit from me.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἐλέησόν με, ὁ Θεός.

Δόξα.

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. *Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωήν, καὶ μέγα ἔλεος.

Ἱερεύς: Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια·

Restore unto me the joy of thy salvation; and uphold me with thy governing spirit.

Then will I teach transgressors thy ways; and sinners shall be converted unto thee.

Deliver me from bloodguiltiness, O God, thou God of my salvation: and my tongue shall sing aloud of thy righteousness.

O Lord, open thou my lips; and my mouth shall shew forth thy praise.

For thou desirest not sacrifice; else would I give it: thou delightest not in burnt offering.

The sacrifices of God are a broken spirit: a broken and a contrite heart, O God, thou wilt not despise.

Do good in thy good pleasure unto Zion: build thou the walls of Jerusalem.

Then shalt thou be pleased with the sacrifices of righteousness, with burnt offering and whole burnt offering

Then shall they offer bullocks upon thine altar. And have mercy on me O God.

Glory.

At the intercession of the Apostles, O Lord of mercy, blot out my many offences.

Both now.

At the intercession of the Theotokos, O Lord of mercy, blot out my many offenses.

Verse: *Have mercy on me, O God, according to Thy great mercy; and according to the abundance of Thy compassion, blot out my transgression.*

Jesus, having risen from the grave as He foretold, has granted us eternal life and great mercy.

Priest: O God, save Your people and bless Your inheritance. Look upon Your world with mercy and compassion. Exalt the horn of Orthodox Christians, and send down upon us Your rich mercies:

πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, καὶ Νεκταρίου Πενταπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου, Δημητρίου τοῦ μυροβλήτου, Θεοδώρου τοῦ τήρωνος, Θεοδώρου τοῦ στρατηλάτου, Μηνᾶ τοῦ θαυματουργοῦ· τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου, τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας· τῶν ἁγίων ἐνδόξων μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Αἰκατερίνης, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· (τοῦ ἁγίου τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ Ἁγίου Μάρτυρος Καλλιστράτου, καὶ τῶν σὺν αὐτῷ, ὧν καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων σου τῶν ἁγίων·

ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Χορός: Κύριε, ἐλέησον. *(ιβ')*

Ἱερεύς: Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Ὁ λαὸς ἵσταται διὰ τὴν Θ' Ὠδήν.

Διάκονος: Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

through the intercessions of our all-immaculate Lady Theotokos and ever-virgin Mary, by the power of the precious and life-giving Cross, the protection of the honorable, heavenly, bodiless powers, the supplications of the honorable, glorious prophet and forerunner John the Baptist, the holy, glorious, and praiseworthy apostles, our fathers among the saints, the great hierarchs and ecumenical teachers Basil the Great, Gregory the Theologian, and John Chrysostom; Athanasius, Cyril, and John the Merciful, patriarchs of Alexandria, Nicholas, bishop of Myra, Spyridon, bishop of Trimythous, Nektarios of Pentapolis, the wonderworkers; the holy, glorious, great martyrs George the triumphant, Demetrios the myrrh-streamer, Theodore the soldier, and Theodore the general; Menas the wonderworker; Charalampus and Eleutherius, the hieromartyrs; the holy, glorious, and victorious martyrs; the glorious great Martyr and all-laudable Euphemia; the holy and glorious Martyrs Thecla, Barbara, Anastasia, Catherine, Kyriaki, Photini, Marina, Paraskevi and Irene; our venerable and God-bearing fathers; (local patron saint); the holy and righteous ancestors of God Joachim and Anna; of the Holy Martyr Callistratus and those with him, whose memory we celebrate, and all Your saints:

We beseech Thee, only merciful Lord, hear us sinners who pray to Thee and have mercy on us.

Choir: Lord, have mercy. (12)

Priest: Through the mercy, compassion, and love for mankind of Thine only-begotten Son, with whom Thou art blessed, and Thine all-holy, good and life-creating Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Stand for the singing of Ode ix.

Deacon: Let us honor and magnify in song the Theotokos and the Mother of the light.

Χορός:

Ὠδὴ θ'.

ΜΕΓΑΛΥΝΑΡΙΟΝ.

Ἦχος δ'.

Στίχ. *Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδού γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καί το ἔλεος αὐτοῦ εἰς γενεάν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Choir:

Ode ix.

THE MAGNIFICAT.

Mode 4.

Verse: *My soul magnifies the Lord, and my spirit has rejoiced in God my Savior.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *For He has regarded the lowly state of His maidservant; for behold, henceforth all generations will call me blessed.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *For He who is mighty has done great things for me, and holy is His name. And His mercy is on those who fear Him from generation to generation.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *He has shown strength with His arm; He has scattered the proud in the imagination of their hearts.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *He has put down the mighty from their thrones, and exalted the lowly. He has filled the hungry with good things, and the rich He has sent away empty.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Στίχ. *Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ὠδὴ θ'. Καταβασία. Ἦχος δ'.

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ ἀειπάρθενε.

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Ἦχος β'.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. (δίς)

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Ὅτι ἅγιός ἐστι.

Verse: *He has helped His servant Israel, in remembrance of His mercy, as He spoke to our fathers, to Abraham and to his seed forever.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Ode ix. Mode 4.

Let every earthborn man upleap in the spirit, and now hold his torch on high; and let all the bodiless, noetic hosts now celebrate joyously the Theotokos's sublime and sacred festival, as they cry out: Rejoice, O thou all blessed one, ever virgin and pure Mother of our God.

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For all the powers of heaven praise Thee, and to Thee they offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Mode 2.

Holy is the Lord our God. (2)

Exalt the Lord our God, and worship at the footstool of His feet.

For He is holy.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ.

ΤΟ Ϛ' ΕΩΘΙΝΟΝ.

Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Δεικνύων ὅτι ἄνθρωπος, Σῶτερ εἶ κατ' οὐσίαν, ἀναστὰς ἐκ τοῦ μνήματος, βρώσεως συμμετέσχες, καὶ μέσον στὰς ἐδίδασκες, μετάνοιαν κηρύσσειν· εὐθὺς δὲ πρὸς οὐράνιον, ἀνελήφθης Πατέρα, καὶ Μαθηταῖς, πέμπειν τὸν Παράκλητον ἐπηγγείλω. Ὑπέρθεε, Θεάνθρωπε, δόξα τῇ σῇ ἐγέρσει.

ΤΩΝ ΑΓΙΩΝ. *Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Κραταιωθέντες Πνεύματι, τῷ Ἁγίῳ καθεῖλον, οἱ ἀθλοφόροι Μάρτυρες, τῶν τυράννων τὰ θράση, διὰ Χριστὸν ὑποστάντες, πᾶσαν πεῖραν βασάνων, ὁ πάνσοφος Καλλίστρατος, καὶ Γυμνάσιος ὄντως, ὁ θαυμαστός, μετὰ τῶν συνάθλων, ὧν τὴν φωσφόρον, μνήμην τελοῦντες εὕροιμεν, ψυχικὴν σωτηρίαν.

ΘΕΟΤΟΚΙΟΝ. *Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Θεοπαρόχων μέγεθος, δωρεῶν καὶ χαρίτων, ὧν περ ἡμᾶς ἠξίωσας, Δέσποτα πανοικτίρμον, τίς λόγος δύναται φράσαι; ῥεύσαντας γὰρ ἀθλίως, ζωῆς Χριστὲ τῆς κρείττονος, ἐπανήγαγες αὖθις, οὐσιωθείς, ὅλον με τὸν ἄνθρωπον ἐκ Παρθένου, καὶ σώσας ὡς φιλάνθρωπος, καὶ Θεὸς ἐλεήμων.

Ψάλτης: Κέλευσον, δέσποτα ἅγιε. Ἦχος πλ. δ'.

Χορός:

ΟΙ ΑΙΝΟΙ.

Ἦχος πλ. δ'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

EXAPOSTEILARION.

EOTHINON 6.

Mode 2. Let us in faith./Upon that mount in Galilee.

O Savior, clearly showing all * that Thou art man by nature, * when Thou wast risen from the tomb, * Thou didst take food and didst eat; * 'midst Thy disciples, Thou taughtest * that they must preach repentance, * then straightway Thou wast taken up * to Thy heavenly Father, * promising them * to send down Thy Comforter soon thereafter. * Transcendent God, both God and man, * glory to Thine Arising.

FOR THE SAINTS. *Mode 2. Let us in faith.*

Strong in the Holy Spirit's might, * the trophy-bearing Martyrs, * supremely-wise Callistratos * and they who struggled with him * and brave Gymnasios the wondrous, * cast down the tyrants' vaunting * when for the sake of Jesus Christ * they endured bitter torments * of every kind; * now may we who celebrate their resplendent * and light-bestowing memory * obtain our souls' salvation.

THEOTOKION. *Mode 2. Let us in faith.*

What words can tell the greatness of * the God-sent gifts and graces * that Thou hast deemed us worthy of, * O Master great in mercy? * For when we wretchedly fell from * that better life aforetime, * O Christ, Thou leddest us again * thereto when Thou becamest * a man like us, * of the Virgin taking on all mine essence, * and as our God most merciful * and Friend of man, didst save me.

Chanter: Your blessing, holy Master! Mode pl. 4.

Choir:

LAUDS.

Mode pl. 4.

Let every breath praise the Lord. Praise the Lord from the Heavens, praise Him in the highest. To Thee is due praise, O God.

Praise Him, all ye His angels; praise Him, all ye His hosts. To Thee is due praise, O God.

Praise Him, O sun and moon; praise Him, all ye stars and light.

Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου.

Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Praise Him, ye heavens of heavens, and thou water that art above the heavens. Let them praise the Name of the Lord;

For He spake, and they came to be; He commanded, and they were created.

He established them for ever, yea, for ever and ever; He hath set an ordinance, and it shall not pass away.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Praise the Lord from the earth, ye dragons, and all ye abysses.

Fire, hail, snow, ice, blast of tempest, which perform His word,

The mountains and all the hills, fruitful trees, and all cedars,

The beasts and all the cattle, creeping things and winged birds.

Kings of the earth, and all peoples, princes and all judges of the earth,

Young men and virgins, elders with the younger; let them praise the Name of the Lord, for exalted is the Name of Him alone.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ. καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Ἄσατε τῷ Κυρίῳ ᾄσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ οἱ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Praise Him, ye heavens of heavens, and thou water that art above the heavens. Let them praise the Name of the Lord;

For He spake, and they came to be; He commanded, and they were created.

He established them for ever, yea, for ever and ever; He hath set an ordinance, and it shall not pass away.

Praise the Lord from the earth, ye dragons, and all ye abysses.

Fire, hail, snow, ice, blast of tempest, which perform His word,

The mountains and all the hills, fruitful trees, and all cedars,

The beasts and all the cattle, creeping things and winged birds.

Kings of the earth, and all peoples, princes and all judges of the earth,

Young men and virgins, elders with the younger; let them praise the Name of the Lord, for exalted is the Name of Him alone.

His praise is above the earth and heaven, and He shall exalt the horn of his people.

This is the hymn for all His saints, for the sons of Israel, and for the people that draw nigh unto Him.

Sing unto the Lord a new song; His praise is in the church of the saints.

Let Israel be glad in Him that made him, let the sons of Sion rejoice in their King.

Let them praise His Name in the dance; with the timbrel and psaltery let them chant unto Him.

For the Lord taketh pleasure in His people, and He shall exalt the meek with salvation.

The saints shall boast in glory, and they shall rejoice upon their beds.

The high praise of God shall be in their throat, and two edged swords shall be in their hands.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

ΣΤΙΧΗΡΑ ΑΝΑΣΤΑΣΙΜΑ. ΣΤΙΧΗΡΟΝ Α'. *Ἦχος πλ. δ'.*

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Κύριε, εἰ καὶ κριτηρίῳ παρέστης, ὑπὸ Πιλάτου κρινόμενος, ἀλλ' οὐκ ἀπελείφθης τοῦ θρόνου, τῷ Πατρὶ συγκαθεζόμενος· καὶ ἀναστὰς ἐκ νεκρῶν, τὸν κόσμον ἠλευθέρωσας, ἐκ τῆς δουλείας τοῦ ἀλλοτρίου, ὡς οἰκτίρμων καὶ φιλάνθρωπος.

ΣΤΙΧΗΡΟΝ Β'. *Ἦχος πλ. δ'.*

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Κύριε, εἰ καὶ ὡς θνητὸν ἐν μνημείῳ, Ἰουδαῖοί σε κατέθεντο, ἀλλ' ὡς βασιλέα ὑπνοῦντα, στρατιῶταί σε ἐφύλαττον, καὶ ὡς ζωῆς θησαυρόν, σφραγῖδι ἐσφραγίσαντο· ἀλλὰ ἀνέστης καὶ παρέσχες, ἀφθαρσίαν ταῖς ψυχαῖς ἡμῶν.

ΣΤΙΧΗΡΟΝ Γ". *Ἦχος πλ. δ'.*

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου, τὸν Σταυρόν σου ἡμῖν δέδωκας· φρίττει γὰρ καὶ τρέμει, μὴ φέρων καθορᾷν αὐτοῦ τὴν δύναμιν, ὅτι νεκροὺς ἀνιστᾷ, καὶ θάνατον κατήργησε· διὰ τοῦτο προσκυνοῦμεν, τὴν ταφήν σου καὶ τὴν ἔγερσιν.

ΣΤΙΧΗΡΟΝ Δ'. *Ἦχος πλ. δ'.*

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ὁ Ἄγγελός σου Κύριε, ὁ τὴν ἀνάστασιν κηρύξας, τοὺς μὲν φύλακας ἐφόβησε, τὰ δὲ γύναια ἐφώνησε λέγων· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; ἀνέστη Θεὸς ὤν, καὶ τῇ οἰκουμένῃ ζωὴν ἐδωρήσατο.

To do vengeance among the heathen, punishments among the peoples.

To bind their kings with fetters, and their nobles with manacles of iron.

RESURRECTIONAL STICHERA. STICHERON 1. *Mode pl. 4.*

To do among them the judgment that is written. This glory shall be to all His saints.

O Lord, though Thou didst stand before the tribunal, * enduring judgment at Pilate's hands, * Thou didst not depart from Thy Father, * seated with Him on Thy throne above. * And Thou didst rise from the dead, * O Friend of man most merciful, * freeing the world from the bitter bondage * of the alien and enemy.

STICHERON 2. *Mode pl. 4.*

Praise ye God in His saints, praise Him in the firmament of His power.

O Lord, though the Jews had Thee brought down as a mortal * to be interred in a sepulchre, * yet the soldiers kept guard about Thee * as though protecting a sleeping king; * and as the Treasure of Life * they sealed Thee in with seal secure: * but Thou art risen, and Thou hast granted * incorruption to our souls, O Christ.

STICHERON 3. *Mode pl. 4.*

Praise Him for His mighty acts; praise Him according to His excellent greatness.

O Lord, Thou hast given us the Cross as a weapon * against the devil and enemy; * for he sorely quaileth and trembleth * and cannot look on the might thereof. * For it doth raise up the dead * and hath abolished death itself. * Wherefore, in gladness and joy we worship * both Thy Burial and Rising again.

STICHERON 4. *Mode pl. 4.*

Praise Him with the sound of the trumpet; praise Him with the psaltery and harp.

Thine Angel who proclaimed the Resurrection, O Lord, while frightening the guards, addressed the women, saying: Why seek ye the Living among the dead? He is risen as God and hath granted life unto whole world.

ΣΤΙΧΗΡΟΝ Ε'. *Ἦχος πλ. δ'.*

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ἔπαθες διὰ σταυροῦ, ὁ ἀπαθὴς τῇ θεότητι· ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς, τῆς δουλείας τοῦ ἐχθροῦ· καὶ ἀθανατίσας, ζωοποιήσῃς ἡμᾶς Χριστὲ ὁ Θεός, διὰ τῆς ἀναστάσεώς σου Φιλάνθρωπε.

ΣΤΙΧΗΡΟΝ Ϛ'. *Ἦχος πλ. δ'.*

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Προσκυνῶ καὶ δοξάζω, καὶ ἀνυμνῶ Χριστέ, τὴν σὴν ἐκ τάφου ἀνάστασιν· δι' ἧς ἠλευθέρωσας ἡμᾶς, ἐκ τῶν τοῦ ᾅδου ἀλύτων δεσμῶν, καὶ ἐδωρήσω τῷ κόσμῳ ὡς Θεός, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

ΣΤΙΧΗΡΟΝ Ζ'. *Ἦχος πλ. δ'.*

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Τὸ ζωοδόχον σου μνῆμα, φρουροῦντες παράνομοι, σὺν τῇ κουστωδίᾳ ἐσφραγίσαντο τοῦτο· σὺ δὲ ὡς ἀθάνατος Θεός, καὶ παντοδύναμος, ἀνέστης τριήμερος.

ΣΤΙΧΗΡΟΝ Η'. *Ἦχος πλ. δ'.*

Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Πορευθέντος σου, ἐν πύλαις ᾅδου Κύριε, καὶ ταύτας συντρίψαντος, ὁ αἰχμάλωτος οὕτως ἐβόα· Τίς ἐστιν οὗτος, ὅτι οὐ καταδικάζεται, ἐν τοῖς κατωτάτοις τῆς γῆς, ἀλλὰ καὶ ὡς σκηνὴν κατέλυσε, τοῦ θανάτου τὸ δεσμωτήριον; ἐδεξάμην αὐτὸν ὡς θνητόν, καὶ τρέμω ὡς Θεόν. Παντοδύναμε Σωτὴρ ἐλέησον ἡμᾶς.

STICHERON 5. *Mode pl. 4.*

Praise Him with the timbrel and dance; praise Him with stringed instruments and organs.

Thou didst suffer on the Cross, Thou Who art impassible in Thy Godhead. Thou didst submit to burial of three days that Thou mightest free us from bondage to the enemy. And Thou hast made us immortal, O Christ God, that Thou mightest grant us life, through Thy Resurrection, O Friend of Man.

STICHERON 6. *Mode pl. 4.*

Praise Him with resounding cymbals; praise Him with triumphant cymbals; let everything that breathes praise the Lord.

I worship and glorify and praise, O Christ, Thy Resurrection from the grave, whereby Thou hast freed us from the indissoluble bonds of Hades and, as God, hast granted to the world life everlasting and great mercy.

STICHERON 7. *Mode pl. 4.*

Arise, O Lord my God, let Thy hand be lifted high, and do not forget Thy paupers to the end.

While the lawless guarded Thy life-receiving tomb, together with the guards they sealed it; but Thou, as immortal God and omnipotent, didst arise on the third day.

STICHERON 8. *Mode pl. 4.*

I will confess Thee, O Lord, with my whole heart; I will tell of all Thy wonders.

When Thou didst pass through the gates of Hades, O Lord, and brakest them in pieces, the captives cried out thus: Who is this that is not condemned in the nethermost parts of the earth but, as though it were a tent, He hath undone the prison of death? I received Him as one mortal, and I tremble before Him as God. O Omnipotent Saviour, have mercy on us.

Δόξα. Ἦχος πλ. β'.

ΤΟ Ϛ' ΕΩΘΙΝΟΝ.

Ἦ ὄντως εἰρήνη σὺ Χριστέ, πρὸς ἀνθρώπους Θεοῦ, εἰρήνην τὴν σὴν διδούς, μετὰ τὴν ἔγερσιν Μαθηταῖς, ἐμφόβους ἔδειξας αὐτούς, δόξαντας πνεῦμα ὁρᾶν· ἀλλὰ κατέστειλας τὸν τάραχον αὐτῶν τῆς ψυχῆς, δείξας τὰς χεῖρας καὶ τοὺς πόδας σου· πλὴν ἀπιστούντων ἔτι, τῇ τῆς τροφῆς μεταλήψει, καὶ διδαχῶν ἀναμνήσει, διήνοιξας αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς Γραφάς· οἷς καὶ τὴν πατρικὴν ἐπαγγελίαν καθυποσχόμενος, καὶ εὐλογήσας αὐτούς, διέστης πρὸς οὐρανόν. Διὸ σὺν αὐτοῖς προσκυνοῦμέν σε, Κύριε δόξα σοι.

Καὶ νῦν. ΘΕΟΤΟΚΙΟΝ.

Ὑ περευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ἠχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

Ὁ λαὸς ἵσταται διὰ τὴν Μ. Δοξολογίαν.

Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δ όξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Glory. Mode pl. 2.

EOTHINON 6.

Thou Who art the true peace to men of God, O Christ, while giving Thy peace to Thy disciples after Thy Resurrection, didst cause them to be afrighted, for they supposed they beheld a spirit. But Thou didst quiet the trouble in their souls by showing them Thy hands and feet, although they yet believed not. But in partaking of food and bringing Thy teachings to remembrance, Thou didst open their understanding that they might understand the Scriptures. And after Thou hadst assured them of the Father's promise and hadst blessed them, Thou didst depart unto Heaven. Wherefore, together with them, we worship Thee; O Lord, glory be to Thee.

Both now. THEOTOKION.

M ost blessed art thou, O Virgin Theotokos; for through Him Who was incarnate of thee, Hades was taken captive, Adam was recalled, the curse was annulled, Eve was freed, death was put to death, and we were brought to life. Wherefore, with hymns we cry aloud: Blessed art Thou, O Christ our God, Who hast been thus well pleased; glory be to Thee.

Stand for the Great Doxology.

GREAT DOXOLOGY

G lory be to Thee Who hast shown the light. Glory in the highest to God, and on earth peace, good will among men.

We praise Thee; we bless Thee; we worship Thee; we glorify Thee; we give thanks to Thee for Thy great glory.

O Lord, King, heavenly God, the Father Almighty, O Lord the only begotten Son, Jesus Christ, and the Holy Spirit.

O Lord, God, Lamb of God, Son of the Father, Who takest away the sin of the world: have mercy on us, Thou Who takest away the sins of the world.

Receive our prayer, Thou Who sittest at the right hand of the Father; and have mercy on us.

For Thou alone art holy; Thou alone art Lord, Jesus Christ, to the glory of God the Father. Amen.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. *(3)*

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Μετὰ τὸ τέλος τῆς Δοξολογίας λέγομεν Τροπάριον Ἀναστάσιμον.

Ἦχος δ'. (ἢ τῆς ἑβδομάδος.)

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν. Ἄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Every day will I bless Thee, and I will praise Thy name forever and unto the ages of ages.

Vouchsafe, O Lord, to keep us this day without sin.

Blessed art Thou, O Lord, the God of our Fathers, and praised and glorified is Thy name unto the ages. Amen.

Let Thy mercy, O Lord, be upon us, even as we have hoped in Thee.

Blessed art Thou, O Lord, teach me Thy statutes.

Blessed art Thou, O Lord, teach me Thy statutes.

Blessed art Thou, O Lord, teach me Thy statutes.

Lord, Thou hast been our refuge from generation to generation. I said: O Lord, have mercy on me; heal my soul, for I have sinned against Thee.

O Lord, to Thee have I fled for refuge; teach me to do Thy will, for Thou art my God.

For in Thee is the fountain of life; in Thy light we shall see light.

Continue Thy mercy unto those who know Thee.

Holy God, holy Mighty, holy Immortal, have mercy on us. (3)

Glory to the Father and the Son and the Holy Spirit.

Both now and ever and to the ages of ages. Amen.

Holy Immortal, have mercy on us.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

After the Doxology, sing the following Resurrectional Troparion.

Mode 4. (or the Mode of the week)

Today is salvation come unto the world. Let us sing unto the Author of our life Who arose from the grave; for, destroying death by death, He granted us the victory and great mercy.